18. ΠΕΛΩΡΙΑ, ὑψηλά, μεγάλα, παρὰ τὸ πελάζειν ἀέρι, ἢ μᾶλλον τοῖς ὄρεσιν.

Tzetza ad Hes. ἔργ. I. 106.

ΕΙϹΟΚΕΝ ΗΙΚΩϹΕ. μέχρι τοῦδε τὸ σχῆμα, προθεωρία, προϋφήγησις, ὑπόσχεσις, καὶ προκατάστασις, καλεῖται, καὶ ὅσα οἱ ῥήτορες εἰώθασι καλεῖν. ἔργον δὲ τὸ σχῆμα εὐκρινείας, ἡ δὲ εὐκρινεία σαφηνείας.

Tzetz. ad Hes. ἔργ. I. 105.

19. ΤΑΥΤΑ ΜΟΙ. ἐπιλογικὸν κεφάλαιον, καὶ ἐπανάληψις.

5. ἴσ. υἱοῦ τοῦ ἀχιλλέως πάππου αἰακοῦ. αἰακοῦ γὰρ ὁ καὶ ἐνδηΐδος, τῆς χείρωνος. sic Apollodorus, etsi etiam ibi in Pal. cod. fuit, τῆς σκείρωνος. 6. καὶ ἱέρας. 7. ἢ ὅτε. 8. ἴσ. φωνᾶ, καὶ ὅσα — ἰωνικά. 9 ἢ εὐκρίνεια. u. Hen.

20. ἤτοι μὲν Τροίην πολέμοις πρότερον μογέεσκε.
πέρσε γὰρ αὐτὴν ἡρακλέος μένος ἀγριοθύμου.
δουρὶ δ' αὖ αἱ σκυθομήτρες ἐπέδραμον εἶτα γυναῖκες
θυγατέρες [f] ἄρηος, ἀμαζόνες ἀγκυλότοξοι.

conf. Theocr. εἰδ. ιγ'. u. 56. et Scholia ad eum locum.

f excidit τοι, uel του, uel simile μόριον.

20. ΗΤΟΙ ΜΕΝ ΤΡΟΙΗΝ. ἐντεῦθεν ἄρχεται ἡ διήγησις ἐπιλογικώτατα, μετὰ μικρᾶς τῆς προδιηγήσεως. τὸ γὰρ ἀπ' αὐτῆς τῆς διηγήσεως ἄρχεσθαι, ἀγροικότατον δὲ καὶ ἄτεχνον· τὸ δὲ πόρρωθεν ἄρχεσθαι, καὶ μὴ συντόμως εἰσβάλλειν εἰς τὴν ὑπόθεσιν, τεχνικά ἐστι [11] διηγήσασα. ἀσαφήνειαν γὰρ ἐμποιεῖ. ἀρεταὶ γὰρ διηγήσεως τέσσαρες· σαφήνεια, πιθανότης, [11] καὶ ὁ τῶν ὀνομάτων ἑλληνισμός. ἔστι δὲ τὸ, ΗΤΟΙ ΜΕΝ, προσωποποιΐα. τὴν γὰρ ἰδίαν γνῶσιν, ὡς μοῦσαν τινὰ, παρεισάγει, λέγουσαν καὶ διηγουμένην.

Ἑλληνισμὸν omittit Schol. minor Homeri ad Ιλ. έ. 9, additque συντομίαν. Deest sane aliquid.

21. ΠΕΡϹΕ ΓΑΡ ΑΥΤΗΝ. ἡ παρὰ τοῦ ἡρακλέους τῆς τροίας πόρθησις δῆλον.

Il. έ. 640. ibi interpretes. Tzetza ad Lycophr. u. 34. alii.

22. ΑΙ ϹΚΥΘΟΜΗΤΡΕϹ. οἱ ἕλληνες τῇ ἐπὶ θερμώδοντος μάχῃ ἀμαζόνας ἐνίκησαν, καὶ ἦγον τρισὶ πλοίοις τὰς ζωγρηθείσας· αἱ νικήσασαι ἐν τῷ πελάγει τοὺς φέροντας αὐτὰς, κατὰ κῦμα φερόμεναι, ἦλθον ἐν τοῖς κρημνοῖς τῆς μαιώτιδος, καὶ ἵππων ἐπιβᾶσαι, σκυθίαν ἐληΐζοντο· ὡς δὲ τινων κρατηθέντων γυναῖκας αὐτὰς σκύθαι ἐπέγνωσαν, πέμπουσι τοσούτους πρὸς αὐτὰς νέους, οἳ [12] μεθ' ὁδῷ μιγέντες αὐταῖς, γυναῖκας αὐτὰς ἔχον, καὶ σὺν αὐταῖς τριῶν ἡμερῶν ὁδὸν ἐκ τοῦ τόπου αὐτῶν τὸν τάναϊν διέβησαν, πρὸς ἥλιον ἀνίσχοντα, κ

Locum Herodoti attulit etiam Eustath. ad Dionys. u. 655.

http://digital.slub-dresden.de/ppn346492408/8